πάντα, ὡς ἁπλῶς εἰπεῖν· σχεδὸν γὰρ οὐδὲ γράμματα πάνυ
τι ἐπίστασθαι, ἀλλ' εἶναι γελοῖον, ὁπότε τι δέοι ἢ γράψαι
ἢ ἀναγνῶναι, βατταρίζοντα ὥσπερ τὰ παιδία.“ καὶ ὁ Πλά- 30
των δὲ αὐτὸν ἐν Ἀπολογίᾳ τοιάδε τέθεικε λέγοντα· „οὐ
μέντοι, νὴ Δία, ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλιεπημένους γε
λόγους, ὥσπερ οἱ τούτων, ῥήμασί τε καὶ ὀνόμασιν οὐδὲ
κεκοσμημένους, ἀλλ' ἀκούσεσθε εἰκῇ λεγόμενα τοῖς ἐπιτυ-
χοῦσιν ὀνόμασιν.“ καὶ μετ' ὀλίγα δὲ ταῦτα πάλιν προστέ-
θεικεν· „καὶ δὴ καὶ νῦν ὑμῶν τοῦτο δέομαι δίκαιον, ὥς γέ
μοι δοκῶ, τὸν σκοπὸν τῆς λέξεως ἐᾶν (ἴσως μὲν γὰρ χεί-
ρων, ἴσως δὲ βελτίων ἂν εἴη), αὐτὸ δὲ τοῦτο σκοπεῖν καὶ
τούτῳ τὸν νοῦν προσέχειν, εἰ δίκαια λέγω.“ ἀλλ' ὅμως καὶ 31
ἀμαθῆ γε γλῶτταν καὶ ἀπαίδευτον ἐσχηκώς, οὐ μόνον τῶν
ἄλλων ἁπάντων, ἀλλὰ καὶ Πλάτωνος τοῦ ἅπαντας Ἕλληνας
εὐεπείᾳ νενικηκότος αἰδοῦς ἀξιώτερος ἦν. καὶ τοῦτο οὐδ'
ἂν αὐτὸς ὁ Ἀρίστωνος ἀρνηθείη. πῶς γάρ, ὅ γε πάντας
ὅσους ὤδινε λόγους ἐκείνῳ προσαναθείς τε καὶ προσαρ-
μόσας καὶ τῆς ἐκείνου διανοίας ἐκγόνους εἶναι | παρασκευ- p. 9
άσας νομίζεσθαι; ὅτι δὲ καὶ οὗτος, ὁ ἅπαντας ἀνθρώπους 32
καὶ οὐ τοὺς ἄλλους Ἕλληνας μόνον, ἀλλὰ καὶ αὐτοὺς Ἀθη-
ναίους εὐγλωττίᾳ καὶ ὀνομάτων κάλλει πάμπαν ἀποκρύψας,
μὴ τῇ κομψείᾳ τῶν λόγων, ἀλλὰ τῇ τῶν ἐνθυμημάτων
ἁρμονίᾳ προσέχειν παρεγγυᾷ, ἀκούσατε αὐτοῦ διαρρήδην ἐν
τῷ Πολιτικῷ λέγοντος· „κἂν διαφυλάξῃς τὸ μὴ σπουδάζειν